# ΙСΤΟΡΙΩΝ Α

Ἡροδότου Ἁλικαρνηccέοc ἱcτορίηc ἀπόδεξιc ἥδε, ὡc μήτε τὰ γενόμενα ἐξ ἀνθρώπων τῷ χρόνῳ ἐξίτηλα γένηται, μήτε ἔργα μεγάλα τε καὶ θωμαcτά, τὰ μὲν Ἕλληcι, τὰ δὲ βαρβάροιcι ἀποδεχθέντα, ἀκλεᾶ γένηται, τά τε ἄλλα καὶ <δὴ καὶ> δι' ἣν αἰτίην ἐπολέμηcαν ἀλλήλοιcι.

Περcέων μέν νυν οἱ λόγιοι Φοίνικαc αἰτίουc φαcὶ γενέcθαι 1
τῆc διαφορῆc· τούτουc γὰρ ἀπὸ τῆc Ἐρυθρῆc καλεομένηc θαλάccηc ἀπικομένουc ἐπὶ τήνδε τὴν θάλαccαν καὶ οἰκήcανταc τοῦτον τὸν χῶρον τὸν καὶ νῦν οἰκέουcι, αὐτίκα ναυτιλίῃcι μακρῇcι ἐπιθέcθαι, ἀπαγινέονταc δὲ φορτία Αἰγύπτιά τε καὶ Ἀccύρια τῇ τε ἄλλῃ {χώρῃ} ἐcαπικνέεcθαι καὶ δὴ καὶ ἐc Ἄργοc. (2) τὸ δὲ Ἄργοc τοῦτον τὸν χρόνον προεῖχε ἅπαcι τῶν <ἄλλων πολίων τῶν> ἐν τῇ νῦν Ἑλλάδι καλεομένῃ χώρῃ. ἀπικομένουc δὲ τοὺc Φοίνικαc ἐc δὴ τὸ Ἄργοc τοῦτο διατίθεcθαι τὸν φόρτον. (3) πέμπτῃ δὲ ἢ ἕκτῃ ἡμέρῃ ἀπ' ἧc ἀπίκοντο, ἐξεμπολημένων cφι cχεδὸν πάντων, ἐλθεῖν ἐπὶ τὴν θάλαccαν γυναῖκαc ἄλλαc τε πολλὰc καὶ δὴ καὶ τοῦ βαcιλέοc θυγατέρα· τὸ δέ οἱ οὔνομα εἶναι, κατὰ τὠυτὸ τὸ

1 Ἁλικαρνηccέοc A: -ναcῆοc r: Θουρίου Ar. *Rhet.* 1409$^{a}$27–8, nisi forte hic locus interpolatori imputandus est: fieri etiam potest ut Herodotus hanc variam lectionem in exemplari suo addiderit: Thurium eum appellant aliquot scriptores antiqui, Halicarnaseum plerique: cf. etiam Plut. *Mor.* 604 F   ἀπόδεξιc A: -δειξιc r   ἥδε ante ἱcτορίηc praebet Aristoteles   3 θωμαcτά edd.: θωυμ- AU: θαυμ- r   4 suppl. Maas: cf. 2. 131. 3   6 αἰτίουc post διαφορῆc traiecit r   11 χώρῃ om. Q, del. Schaefer   13 suppl. Powell   18 βαcιλέοc A: -ῆοc r   alterum τὸ Aldina: ὃ

*καὶ Ἕλληνες λέγουσι, Ἰοῦν τὴν Ἰνάχου. (4) ταύτας στάσας κατὰ
πρύμνην τῆς νεὸς ὠνέεσθαι τῶν φορτίων τῶν σφι ἦν θυμὸς
μάλιστα, καὶ τοὺς Φοίνικας διακελευσαμένους ὁρμῆσαι ἐπ'
αὐτάς. τὰς μὲν δὴ πλεῦνας τῶν γυναικῶν ἀποφυγεῖν, τὴν δὲ
Ἰοῦν σὺν ἄλλῃσι ἁρπασθῆναι· ἐσβαλομένους δὲ ἐς τὴν νέα
2 οἴχεσθαι ἀποπλέοντας ἐπ' Αἰγύπτου. οὕτω μὲν Ἰοῦν ἐς
Αἴγυπτον ἀπικέσθαι λέγουσι Πέρσαι, οὐκ ὡς Ἕλληνες, καὶ
τῶν ἀδικημάτων πρῶτον τοῦτο ἄρξαι· μετὰ δὲ ταῦτα
Ἑλλήνων τινάς (οὐ γὰρ ἔχουσι τοὔνομα ἀπηγήσασθαι) φασὶ
τῆς Φοινίκης ἐς Τύρον προσσχόντας ἁρπάσαι τοῦ βασιλέος
τὴν θυγατέρα Εὐρώπην. εἴησαν δ' ἂν οὗτοι Κρῆτες. ταῦτα μὲν
δὴ ἴσα πρὸς ἴσα σφι γενέσθαι· μετὰ δὲ ταῦτα Ἕλληνας αἰτίους
τῆς δευτέρης ἀδικίης γενέσθαι. (2) καταπλώσαντας γὰρ
μακρῇ νηῒ ἐς Αἶάν τε τὴν Κολχίδα καὶ ἐπὶ Φᾶσιν ποταμόν,
ἐνθεῦτεν, διαπρηξαμένους καὶ τἆλλα τῶν εἵνεκεν ἀπίκατο,
ἁρπάσαι τοῦ βασιλέος τὴν θυγατέρα Μηδείην. (3) πέμψαντα
δὲ τὸν Κόλχων βασιλέα ἐς τὴν Ἑλλάδα κήρυκα αἰτέειν τε
δίκας τῆς ἁρπαγῆς καὶ ἀπαιτέειν τὴν θυγατέρα· τοὺς δὲ
ὑποκρίνασθαι ὡς οὐδὲ ἐκεῖνοι Ἰοῦς τῆς Ἀργείης ἔδοσάν σφι
3 δίκας τῆς ἁρπαγῆς· οὐδὲ ὦν αὐτοὶ δώσειν ἐκείνοισι. δευτέρῃ
δὲ λέγουσι γενεῇ μετὰ ταῦτα Ἀλέξανδρον τὸν Πριάμου
ἀκηκοότα ταῦτα ἐθελῆσαί οἱ ἐκ τῆς Ἑλλάδος δι' ἁρπαγῆς
γενέσθαι γυναῖκα, ἐπιστάμενον πάντως ὅτι οὐ δώσει δίκας·
οὐδὲ γὰρ ἐκείνους διδόναι. (2) οὕτω δὴ ἁρπάσαντος αὐτοῦ
Ἑλένην τοῖσι Ἕλλησι δόξαι πρῶτον πέμψαντας ἀγγέλους
ἀπαιτέειν τε Ἑλένην καὶ δίκας τῆς ἁρπαγῆς αἰτέειν. τοὺς δὲ
προϊσχομένων ταῦτα προφέρειν σφι Μηδείης τὴν ἁρπαγήν,
ὡς οὐ δόντες αὐτοὶ δίκας οὐδὲ ἐκδόντες ἀπαιτεόντων*

20 *νεὸς* A: *νηὸς* r 22 *ἀποφυγεῖν* r: *-έειν* A 23 *ἐσβαλομένους* AU: *ἐσβαλλ-* r 28 *προσσχόντας* Schaefer: *προσχ-* 29 *τὴν* A: om. r *μὲν* A: om. r 30 *σφι* ante *πρὸς* traiecit r 33 *ἐνθεῦτεν* A: *ἐντεῦθεν* r *ἀπίκατο* A: *ἀπίκοντο* r 34 *τὴν* A: om. r *Μηδείην* A: *Μηδίην* r 35 *τὸν* A: *τῶν* r 42 *οὐδὲ* Schaefer: *οὔτε* *διδόναι*] *δοῦναι* dubitanter Blaydes 45 *Μηδείης* A: *Μηδίης* r

βουλοίατο ϲφίϲι παρ' ἄλλων δίκαϲ γίνεϲθαι. μέχρι μὲν ὦν 4
τούτου ἁρπαγὰϲ μούναϲ εἶναι παρ' ἀλλήλων, τὸ δὲ ἀπὸ τούτου Ἕλληναϲ δὴ μεγάλωϲ αἰτίουϲ γενέϲθαι· προτέρουϲ γὰρ ἄρξαι ϲτρατεύεϲθαι ἐϲ τὴν Ἀϲίην ἢ ϲφέαϲ ἐϲ τὴν Εὐρώπην. (2) τὸ μέν νυν ἁρπάζειν γυναῖκαϲ ἀνδρῶν ἀδίκων νομίζειν ἔργον εἶναι, τὸ δὲ ἁρπαϲθειϲέων ϲπουδὴν ποιήϲαϲθαι τιμωρέειν ἀνοήτων, τὸ δὲ μηδεμίαν ὤρην ἔχειν ἁρπαϲθειϲέων ϲωφρόνων· δῆλα γὰρ δὴ ὅτι, εἰ μὴ αὐταὶ ἐβούλοντο, οὐκ ἂν ἡρπάζοντο. (3) ϲφέαϲ μὲν δὴ τοὺϲ ἐκ τῆϲ Ἀϲίηϲ λέγουϲι Πέρϲαι ἁρπαζομένων τῶν γυναικῶν λόγον οὐδένα ποιήϲαϲθαι, Ἕλληναϲ δὲ Λακεδαιμονίηϲ εἵνεκεν γυναικὸϲ ϲτόλον μέγαν ϲυναγεῖραι καὶ ἔπειτα ἐλθόνταϲ ἐϲ τὴν Ἀϲίην τὴν Πριάμου δύναμιν κατελεῖν. (4) ἀπὸ τούτου αἰεὶ ἡγήϲαϲθαι τὸ Ἑλληνικὸν ϲφίϲι εἶναι πολέμιον. τὴν γὰρ Ἀϲίην καὶ τὰ ἐνοικέοντα ἔθνεα {βάρβαρα} οἰκηιοῦνται οἱ Πέρϲαι, τὴν δὲ Εὐρώπην καὶ τὸ Ἑλληνικὸν ἥγηνται κεχωρίϲθαι.

Οὕτω μὲν Πέρϲαι λέγουϲι γενέϲθαι, καὶ διὰ τὴν Ἰλίου 5
ἅλωϲιν εὑρίϲκουϲι ϲφίϲι ἐοῦϲαν τὴν ἀρχὴν τῆϲ ἔχθρηϲ τῆϲ ἐϲ τοὺϲ Ἕλληναϲ. (2) περὶ δὲ τῆϲ Ἰοῦϲ οὐκ ὁμολογέουϲι Πέρϲῃϲι οὕτω Φοίνικεϲ· οὐ γὰρ ἁρπαγῇ ϲφέαϲ χρηϲαμένουϲ λέγουϲι ἀγαγεῖν αὐτὴν ἐϲ Αἴγυπτον, ἀλλ' ὡϲ ἐν τῷ Ἄργεϊ ἐμίϲγετο τῷ ναυκλήρῳ τῆϲ νεόϲ· ἐπεὶ δὲ ἔμαθε ἔγκυοϲ ἐοῦϲα, αἰδεομένη τοὺϲ τοκέαϲ, οὕτω δὴ ἐθελοντὴν αὐτὴν τοῖϲι Φοίνιξι ϲυνεκπλῶϲαι, ὡϲ ἂν μὴ κατάδηλοϲ γένηται. (3) ταῦτα μέν νυν Πέρϲαι τε καὶ Φοίνικεϲ λέγουϲι. ἐγὼ δὲ περὶ μὲν τούτων οὐκ ἔρχομαι ἐρέων ὡϲ οὕτωϲ ἢ ἄλλωϲ κωϲ ταῦτα ἐγένετο, τὸν δὲ οἶδα αὐτὸϲ πρῶτον ὑπάρξαντα ἀδίκων ἔργων ἐϲ τοὺϲ

47 ϲφίϲι dubitanter Stein: ϲφι  48 τούτου A: τούτων r  53 μηδεμίαν A: -ίην r  54 ἁρπαϲθειϲέων del. Cobet  αὐταὶ A: αὗται r  55 ἐβούλοντο Plut. Mor. 856 F textum exscribens: -έατο Ar, Plut. (cod. B) de textu disserens  τοὺϲ ἐκ τῆϲ Ἀϲίηϲ del. Powell, λέγουϲι Πέρϲαι Van Herwerden  56 ἁρπαζομένων r: -νέων AX  61 del. Stein  οἰκηιοῦνται Legrand: οἰκειοῦνται A: -εῦνται r  65 οὐκ edd.: οὐχ  67 ἀγαγεῖν A: ἄγειν r  68 νεόϲ A: νηόϲ r  71 τε A: om. r  72 ταῦτα del. Van Herwerden

Ἕλληναϲ, τοῦτον ϲημήναϲ προβήϲομαι ἐϲ τὸ πρόϲω τοῦ λόγου, ὁμοίωϲ ϲμικρὰ καὶ μεγάλα ἄϲτεα ἀνθρώπων ἐπεξιών. (4) τὰ γὰρ τὸ πάλαι μεγάλα ἦν, τὰ πολλὰ αὐτῶν ϲμικρὰ γέγονε, τὰ δὲ ἐπ' ἐμεῦ ἦν μεγάλα, πρότερον ἦν ϲμικρά. τὴν ἀνθρωπηίην ὦν ἐπιϲτάμενοϲ εὐδαιμονίην οὐδαμὰ ἐν τὠυτῷ μένουϲαν ἐπιμνήϲομαι ἀμφοτέρων ὁμοίωϲ.

6 Κροῖϲοϲ ἦν Λυδὸϲ μὲν γένοϲ, παῖϲ δὲ Ἀλυάττεω, τύραννοϲ
δὲ ἐθνέων τῶν ἐντὸϲ Ἅλυοϲ ποταμοῦ, ὃϲ ῥέων ἀπὸ μεϲαμ-
βρίηϲ μεταξὺ Ϲυρίων <τε> καὶ Παφλαγόνων ἐξίει πρὸϲ
βορῆν ἄνεμον ἐϲ τὸν Εὔξεινον καλεόμενον πόντον. (2) οὗτοϲ
ὁ Κροῖϲοϲ βαρβάρων πρῶτοϲ τῶν ἡμεῖϲ ἴδμεν τοὺϲ μὲν
κατεϲτρέψατο Ἑλλήνων ἐϲ φόρου ἀπαγωγήν, τοὺϲ δὲ φίλουϲ
προϲεποιήϲατο. κατεϲτρέψατο μὲν Ἴωνάϲ τε καὶ Αἰολέαϲ
καὶ Δωριέαϲ τοὺϲ ἐν τῇ Ἀϲίῃ, φίλουϲ δὲ προϲεποιήϲατο
Λακεδαιμονίουϲ. (3) πρὸ δὲ τῆϲ Κροίϲου ἀρχῆϲ πάντεϲ
Ἕλληνεϲ ἦϲαν ἐλεύθεροι. τὸ γὰρ Κιμμερίων ϲτράτευμα τὸ ἐπὶ
τὴν Ἰωνίην ἀπικόμενον, Κροίϲου ἐὸν πρεϲβύτερον, οὐ κατα-
7 ϲτροφὴ ἐγένετο τῶν πολίων, ἀλλ' ἐξ ἐπιδρομῆϲ ἁρπαγή. ἡ δὲ
ἡγεμονίη οὕτω περιῆλθε, ἐοῦϲα Ἡρακλειδέων, ἐϲ τὸ γένοϲ τὸ
Κροίϲου, καλεομένουϲ δὲ Μερμνάδαϲ. (2) ἦν Κανδαύληϲ, τὸν οἱ
Ἕλληνεϲ Μυρϲίλον ὀνομάζουϲι, τύραννοϲ Ϲαρδίων, ἀπόγονοϲ
δὲ Ἀλκαίου τοῦ Ἡρακλέοϲ. Ἄγρων μὲν γὰρ ὁ Νίνου τοῦ Βήλου
τοῦ Ἀλκαίου πρῶτοϲ Ἡρακλειδέων βαϲιλεὺϲ ἐγένετο
Ϲαρδίων, Κανδαύληϲ δὲ ὁ Μύρϲου ὕϲτατοϲ. (3) οἱ δὲ πρότερον
Ἄγρωνοϲ βαϲιλεύϲαντεϲ ταύτηϲ τῆϲ χώρηϲ ἦϲαν ἀπόγονοι
Λυδοῦ τοῦ Ἄτυοϲ, ἀπ' ὅτευ ὁ δῆμοϲ Λύδιοϲ ἐκλήθη ὁ πᾶϲ
οὗτοϲ, πρότερον Μηίων καλεόμενοϲ. (4) παρὰ τούτων δὲ
Ἡρακλεῖδαι ἐπιτραφθέντεϲ ἔϲχον τὴν ἀρχὴν ἐκ θεοπροπίου,

74 ϲημήναϲ] incipit D ἐϲ τὸ A: om. d 75 ϲμικρὰ edd.: μικρὰ 76 ϲμικρὰ αὐτῶν A 78 ἀνθρωπηίην A: -πίην D: -πείην r τὠυτῷ Ar: τούτῳ D 82 Ϲυρίων Bredow: Ϲύρων <τε> praebet Dion. Hal. *De comp. verb.* 4. 26 93 καλεομένουϲ] καλευ- P. Oxy. 3372[pc] 95 Ἡρακλέοϲ A: -έουϲ d 95–6 ὁ . . . Ἀλκαίου P. Oxy. 3372, A: om. d 99 ἀπ'] ἐπ' Blaydes 100 Μηίων A: Μήων d δὲ d: om. P. Oxy. 3372, A